ὡς εἶδε τρεῖς μόνους πόδας ὄντας, ἐπέγνω, ὅτι ἐνέδραν αὐτοῦ ἐγεγόνει, καὶ κατελθὼν εἰς τὸ περίαυλον, καὶ περιελὼν τὴν μαχαίραν, τοῦ σιτευομένου χοίρου τὸν ἕνα πόδα ἐκκόψας, καὶ καθίσας, ἔρριψεν εἰς τὴν χύτραν, καὶ συνῆψε. ὁ δὲ Ξάνθος ὑποπτεύσας, μήπως ὁ Αἴσωπος τὸν λείποντα πόδα μὴ εὑρηκὼς δραπετεύσῃ, πάλιν αὐτὸν εἰς τὴν χύτραν ἐνέβαλε. γίνονται οὖν πόδες πέντε. ὁ δὲ οὖν Αἴσωπος κατακενοῖ τοὺς πόδας εἰς τὸν πίνακα, καὶ ἰδοὺ πόδες πέντε. ὁ δὲ Ξάνθος, τί τοῦτο φησίν, Αἴσωπε; ὁ δὲ λέγει, δέσποτα, οἱ δύο χοῖροι πόσους πόδας ἔχουσι; καὶ ὁ Ξάνθος, ὀκτώ. Αἴσωπος λέγει, εἰσὶν ὧδε πέντε, καὶ ὁ χοῖρος νέμεται κάτωθεν τρίπους. Τότε ὁ Ξάνθος λέγει πρὸς τοὺς φίλους, οὐκ εἶπον ὑμῖν, ὅτι οὗτος ταχέως εἰς μανίαν με περιτρέψει. Αἴσωπος ἔφη, δέσποτα, οὐκ οἶδας, ὅτι τὰ ἐκ περιαυ-

ας